**0345-0407 - Iohannes Chrysostomus - De patientia et de consummatione huius saeculi**

**This text belongs to the Thesaurus Linguae Graecae (TLG®), a Research Center at the University of California, Irvine, which digitized it and owns the relevant ©Copyright. On May 15, 2008, Prof. M. Pantelia, the Director of the Center, has expressly authorized www.documentacatholicaomnia.eu to post it into our site. Cooperatorum Veritatis Societas thanks the prof. Pantelia, the Center, and the University of California, Irvine, of having granted the opportunity to make publicly available this text of high quality, serial number '2062 351 '.**

Charset and format of the text have been changed in order to make it possible the computation of analytic indexes and concordances. Analytical indexes and concordances have been made by the Cooperatorum Veritatis Societas.

[00001] Δe patientia et de consummatione huius saeculι

[00002] Περὶ ὑπομονῆς, καὶ περὶ συντελείας τοῦ αἰῶνος τούτου, καὶ δευτέρας παρουσίας, ἀδιαδόχου τε τῶν δικαίων βασιλείας, καὶ ἀτελευτήτου τῶν ἁμαρτωλῶν κολάσεως·

[00003] ὑπόθεσίς τε ἐξομολογήσεως, καὶ πρὸς τὴν τῶν θείων Γραφῶν μελέτην προτροπὴ, τίνες τε αἱ μεθοδεῖαι τοῦ Ἐχθροῦ, καὶ τί τὸ τῆς ἡσυχίας ὠφέλιμον.

63.937

[00004] Λαμπρὸς ὁ βίος τῶν δικαίων·

[00005] πῶς δὲ λαμπρύνεται, ἀλλ' ἢ διὰ τῆς ὑπομονῆς;

[00006] Ταύτην κτησάμενος ἀγάπησον, ὦ ἀδελφὲ, ὡς τῆς ἀνδρείας μητέρα·

[00007] ὁ μὲν γὰρ ψαλμὸς παραινεῖ λέγων·

[00008] Ὑπόμεινον τὸν Κύριον, καὶ φύλαξον τὴν ὁδὸν αὐτοῦ.

[00009] Ὁ δὲ Παῦλος ὅπως κτήσῃ τὴν ἀρετὴν, λέγει·

[00010] Ἡ θλῖψις ὑπομονὴν κατεργάζεται.

[00011] Ταύτην μετερχόμενος, εὑρήσεις τὴν πηγὴν τῶν ἀγαθῶν, τὴν ἐλπίδα·

[00012] Ἡ δὲ ἐλπὶς οὐ καταισχύνεται.

[00013] Ὑποτάγηθι τοίνυν τῷ Κυρίῳ, καὶ ἱκέτευσον αὐτῷ, καὶ εὑρήσεις ἐκ τούτου τὸ, Καὶ δῴη σοι τὰ αἰτήματα [63.938] τῆς καρδίας σου.

[00014] Τί τούτου μακαριώτερον, τοῦ κεκτῆσθαι βασιλέως τοιούτου ἀκοὴν εὐμενῆ;

[00015] τίς οὐ θελήσει ἀνεῳγμένην ἔχειν καὶ ὑπακούουσαν τοῦ κριτοῦ τὴν ἀκοήν;

[00016] Ἐργάτης τυγχάνεις τῆς ἀρετῆς, ἀδελφέ·

[00017] ἐμισθώσατό σε Χριστὸς εἰς τὸν ἀμπελῶνα αὐτοῦ·

[00018] ὡς καιρὸν ἔχεις, ἐργάζου τὸ ἀγαθόν.

[00019] Ἄκουσον τοῦ Παύλου λέγοντος·

[00020] Ὃ δ' ἂν σπείρῃ ἄνθρωπος, τοῦτο καὶ θερίσει.

[00021] Σπεῖρον εἰς τὸ πνεῦμα, ἵνα θερίσῃς ζωὴν αἰώνιον·

[00022] Ὁ γὰρ σπείρων εἰς τὸ σῶμα, φησὶν, ἐκ τοῦ σώματος θερίσει φθοράν.

[00023] Ἄκουε τοῦ καλοῦ παραινέτου λέγον

[00024] [63.939] τος·

[00025] Σπείρατε ἑαυτοῖς δικαιοσύνην, τρυγήσατε καρπὸν ζωῆς·

[00026] μὴ ὀλιγώρει ἐν τῷ κάμνειν, ἔμπροσθεν ὁρῶν τὴν ἐλπίδα.

[00027] Ὅπου γὰρ ἀγῶνες, ἐκεῖ καὶ βραβεῖα·

[00028] ὅπου πόλεμοι, ἐκεῖ καὶ τιμαί·

[00029] ὅπου ἡ πάλη, ἐκεῖ καὶ ὁ στέφανος.

[00030] Εἰς ταῦτα ἀφορῶν, ἐπάλειφε σεαυτὸν δι' ὑπομονῆς·

[00031] ὑποφώνει σεαυτῷ πάντοτε μετὰ τῶν ἁγίων βοῶν·

[00032] Ἀνδρίζου, καὶ κραταιούσθω ἡ καρδία σου, καὶ ὑπόμεινον τὸν Κύριον·

[00033] Ἑτοίμαζε εἰς τὴν ἔξοδον τὰ ἔργα σου, καὶ παρασκευάζου εἰς τὸν ἀγρόν·

[00034] ἀγρὸς γάρ ἐστιν οὗτος ὁ βίος.

[00035] Λάβε τὴν Παλαιὰν Διαθήκην.

[00036] Περίσφιγξον τὸ κτῆμά σου ἀκάνθαις.

[00037] Ποίαις;

[00038] Τῇ νηστείᾳ, τῇ προσευχῇ, τῇ διδασκαλίᾳ.

[00039] Ἐὰν ἔχῃς τὸν φραγμὸν, οὐκ ἐμβήσεται τὸ θηρίον, τὸν διάβολον λέγω.

[00040] Ὡς ἄμπελον καλὴν γεώργει σου τὴν ψυχήν.

[00041] Καὶ ὥσπερ οἱ τοὺς ἀμπελῶνας φυλάσσοντες κροτοῦσι τῇ χειρὶ, βοῶσι τῇ φωνῇ, καὶ διὰ τῶν κτύπων ἱστῶσι τοὺς ἐπιβουλεύοντας·

[00042] οὕτω καὶ σὺ βόησον τῇ προσευχῇ, ἀλάλαξον τῇ ψαλμῳδίᾳ, καὶ ἀποδιώξεις τὸ δολερὸν θηρίον, τὴν ἀλώπεκα, ἥτις ἐστὶν ὁ διάβολος·

[00043] περὶ οὗ ἔλεγεν ἡ Γραφή·

[00044] Πιάσατε ἡμῖν μικροὺς ἀλώπεκας, καὶ τὰ ἑξῆς.

[00045] Τήρει πάντοτε τὸν Ἐχθρόν·

[00046] ἐὰν ἔλθῃ κατατοξεῦσαί σου τὴν καρδίαν εἰς ἐπιθυμίαν ἄτοπον, καὶ ἐὰν κατασφενδονᾷν τὴν ψυχήν σου ἔλθῃ, προσβάλλων ῥυπαροὺς λογισμοὺς, ἀντίστησον τὸν θυρεὸν τῆς πίστεως, περιβαλοῦ τὴν περικεφαλαίαν τῆς ἐλπίδος, σπάσαι τὴν μάχαιραν τοῦ Πνεύματος, ἥτις ἐστὶ ῥῆμα Θεοῦ·

[00047] καὶ οὕτως ὁπλιζόμενος κατὰ τοῦ Ἐχθροῦ, ὑπόμεινον, καὶ μὴ ὀλιγώρει ἐν τῷ πολέμῳ, ἀλλὰ νῆφε ἐν πᾶσιν.

[00048] Ἐπιφέρει ὁ Ἐχθρὸς ποτὲ μὲν εὐρυχωρίας, ποτὲ δὲ θλίψεις.

[00049] Πρὸς ὃ γὰρ δοκιμάζει τὴν διάθεσιν τοῦ ἀνθρώπου ἐγκειμένην, πρὸς αὐτὸ καὶ αὐτὸς στρατεύεται διὰ πανουργίας παρατάσσεσθαι.

[00050] Διὸ, ἀδελφέ μου, νῆψον ἀσφαλῶς, καὶ σπούδασον ἀεὶ τῇ ἀναγνώσει προσκολλᾶσθαι, ἵνα σε διδάξῃ πῶς δεῖ ἐκφυγεῖν τὰς παγίδας τοῦ Ἐχθροῦ, καὶ καταλαμβάνειν τὴν αἰώνιον ζωήν.

[00051] Συστέλλει γὰρ ἡ ἀνάγνωσις τῶν θείων Γραφῶν τὸν νοῦν πλανώμενον, καὶ δωρεῖται γνῶσιν εἰς Θεόν·

[00052] γέγραπται γάρ·

[00053] Σχολάσατε, καὶ γνῶτε, ὅτι ἐγώ εἰμι ὁ Θεός·

[00054] ἀκούεις, ἀδελφὲ, ὅτι γνῶσιν Θεοῦ λαμβάνει ὁ σχολάζων ταῖς θείαις Γραφαῖς ἐν ἀληθινῇ καρδίᾳ.

[00055] Διὸ, ἀδελφέ μου, μὴ ἀμελήσῃς τῆς ψυχῆς σου, ἀλλὰ σχόλαζε τῇ ἀναγνώσει καὶ ταῖς προσευχαῖς·

[00056] ὅπως φωτισθῇ σου ἡ διάνοια, καὶ ὅπως γένῃ τέλειος καὶ ὁλόκληρος, ἐν μηδενὶ λειπόμενος.

[00057] Ἄλλοι καυχῶνται ἐπὶ συνομιλίᾳ μεγιστάνων, ἀρχόντων τε καὶ βασιλέων·

[00058] σὺ δὲ καύχησαι ἔμπροσθεν τῶν ἀγγέλων τοῦ Θεοῦ, συνομιλῶν τῷ ἁγίῳ Πνεύματι διὰ τῶν θείων Γραφῶν·

[00059] τὸ γὰρ ἅγιον Πνεῦμά ἐστι τὸ λαλοῦν δι' αὐτῶν.

[00060] Σπούδαζε οὖν ἐντυγχάνειν ταῖς θείαις Γραφαῖς, καὶ προσκαρτερεῖν ταῖς ἁγίαις εὐχαῖς.

[00061] Ὁσάκις γὰρ ἂν ἐντυγχάνῃς τῷ Θεῷ δι' αὐτῶν, τοσαυτάκις ἁγιάζεταί σου τὸ σῶμα, καὶ ἡ ψυχὴ καὶ τὸ πνεῦμα.

[00062] Τοῦτο οὖν γινώσκων, ἀδελφέ μου, ὅτι, ἡνίκα ἂν ἐντυγχάνῃς αὐταῖς, ἁγιάζῃ, σπούδασον πυκνοτέρως ἐντυγχάνειν αὐταῖς·

[00063] κἂν μὴ σχολάζωσιν αἱ χεῖρες, εὔχου τῇ διανοίᾳ.

[00064] Καὶ γὰρ ἡ μακαρία Ἄννα, ἡ μήτηρ τοῦ προφήτου Σαμουὴλ, ηὔχετο, καὶ τὰ χείλη αὐτῆς ἐσάλευεν·

[00065] ἡ δὲ προσευχὴ αὐτῆς εἰς τὰ ὦτα Κυρίου σαββαὼθ εἰσεληλύθει.

[00066] Καὶ γὰρ ἐδόθη αὐτῇ ἡ αἴτησις αὐτῆς.

[00067] Διὸ, ἀδελφέ μου, εἰ καὶ σχολάζουσιν αἱ χεῖρες, ἀλλὰ τῇ διανοίᾳ εὔχου·

[00068] καὶ γὰρ σιωπώντων ὁ Θεὸς ἀκούει.

[00069] Ἐὰν δὲ οὐκ ἐπίστασαι τὸ ἀναγινώσκειν, προσκολλῶ ὅπου ἔστιν ἀκοῦσαι καὶ ὠφεληθῆναι·

[00070] γέγραπται γάρ·

[00071] Ἐὰν ἴδῃς ἄνδρα συνετὸν, ὄρθριζε πρὸς αὐτὸν, καὶ βαθμοὺς θυρῶν αὐτοῦ ἐκτριβέτω ὁ πούς σου.

[00072] Τοῦτο γὰρ συμβάλλεται, ἀδελφέ μου, οὐ μόνον τοῖς μὴ ἐπισταμένοις τὸ ἀναγνῶναι, ἀλλὰ καὶ τοῖς ἐπισταμένοις.

[00073] Πολλοὶ γάρ εἰσιν ἀναγινώσκοντες, καὶ οὐκ ἐπιγινώσκουσιν ἃ ἀναγινώσκουσι.

[00074] Βλέπε οὖν, ἀδελφὲ, μὴ ἀμελήσῃς τοῦ ἐν σοὶ χαρίσματος τοῦ δοθέντος σοι τῇ δωρεᾷ τοῦ Χριστοῦ·

[00075] ἀλλὰ φρόντισον καὶ ἐκζήτησον τὸ πῶς εὐαρεστῆσαι τῷ Θεῷ δυνήσῃ, ἵνα τύχῃς τοῦ μακαρισμοῦ·

[00076] γέγραπται γάρ·

[00077] Μακάριοι οἱ ἐξερευνῶντες τὰ μαρτύρια αὐτοῦ, ἐν ὅλῃ καρδίᾳ ἐκζητήσουσι αὐτόν.

[00078] Βλέπε μή σε ἀνακόψῃ ὁ Ἐχθρὸς, ὅταν βούλῃ ἀναγνῶναι, προσφέρων σοι τὴν ἀδικίαν, καὶ βάλλων σε εἰς πειρασμοὺς, καὶ λέγων·

[00079] Ποίησον πρῶτον τόδε τὸ πρᾶγμα, ἐφ' ὅσον ὀλίγον ἐστὶ, καὶ οὕτως ἀμερίμνως ἀναγινώσκῃς.

[00080] Ἡνίκα γὰρ ὑποβάλλῃ ταῦτα, καὶ προθυμίαν παρέχῃ εἰς τὸ ἐργόχειρον, ταῦτα πάντα ἐμβάλλει, ἵνα σε ἀπασχολήσῃ τοῦ ἀνα [63.940] γνῶναι καὶ ὠφεληθῆναι.

[00081] Ὅταν γὰρ ἴδῃ ἄνθρωπον ὁ διάβολος ἐμπόνως ἀναγινώσκοντα καὶ ὠφελούμενον, ταύταις ταῖς ἀφορμαῖς καὶ ἄλλαις πολλαῖς παρατάσσεται αὐτῷ, ἐμποδίζειν αὐτὸν ζητῶν.

[00082] Σὺ οὖν μὴ πεισθῇς αὐτῷ, ἀλλὰ γενοῦ ὡσεὶ ἔλαφος διψῶσα, καὶ ἐπιποθῶν ἐλθεῖν ἐπὶ τὰς πηγὰς τῶν ὑδάτων, τουτέστιν ἐπὶ τὰς θείας Γραφὰς, ὅπως πίῃ ἐξ αὐτῶν, καὶ καταψύξωσί σου τὴν δίψαν τὴν συμφλέγουσάν σε διὰ τῶν παθῶν.

[00083] Σύμπινε δὲ καὶ τὴν ἐξ αὐτῶν ὠφέλειάν σοι γινομένην·

[00084] οἷόν τι λέγω, ἵνα, ὅταν ὁ Κύριος δωρῆταί σοι τοῦ ἐπιγνῶναι ἐξ αὐτῶν λόγον, μὴ παρέλθῃς, ἀλλὰ μελετήσῃς αὐτὸν ἐν τῇ διανοίᾳ σου, καὶ ἐγγράψῃς αὐτὸν ἐν τῇ καρδίᾳ σου, καὶ τῇ μνήμῃ διαφυλάξῃς αὐτὸν ἀνεξάλειπτον.

[00085] Γέγραπται γάρ·

[00086] Ἐν τοῖς δικαιώμασί σου μελετήσω, οὐκ ἐπιλήσομαι τῶν λόγων σου·

[00087] καὶ πάλιν, Ἐν τῇ καρδίᾳ μου ἔκρυψα τὰ λόγιά σου, ὅπως ἂν μὴ ἁμάρτω σοι·

[00088] καὶ πάλιν, Ἐν τίνι κατορθώσει νεώτερος τὴν ὁδὸν αὐτοῦ;

[00089] ἐν τῷ φυλάξασθαι τοὺς λόγους σου.

[00090] Βλέπεις, ἀδελφὲ, ὅτι ἐν τῷ μνημονεύειν τῶν λόγων τοῦ Θεοῦ κατορθοῖ ἄνθρωπος τὴν ὁδὸν αὐτοῦ.

[00091] Τίς γάρ ἐστιν ὁ μνημονεύων τῶν λόγων τοῦ Θεοῦ καὶ μὴ κατορθῶν, εἰ μὴ ἄρα ἐκεῖνος ὑπάρχει ἀδόκιμος καὶ ταλαίπωρος, ὁ οὐδὲν ὅλως μνημονεύων, ἀλλὰ καὶ ὧν δοκεῖ μνημονεύειν ἐπιλανθανόμενος;

[00092] Τῷ γὰρ τοιούτῳ ἀνθρώπῳ λέγει ὁ Θεός·

[00093] Ἱνατί σὺ ἐκδιηγῇ τὰ δικαιώματά μου, καὶ ἀναλαμβάνεις τὴν διαθήκην μου διὰ στόματός σου;

[00094] Κελεύει οὖν ἀπαρθῆναι ἀπ' αὐτοῦ καὶ ὃ δοκεῖ ἔχειν·

[00095] ὅτι οὗτος δοκεῖ ἔχειν πίστιν καὶ γὰρ Χριστιανὸν ἑαυτὸν ἀποκαλεῖ , τοῖς δὲ ἔργοις ἀρνεῖται, καὶ ἔστιν ἀπίστου χείρων.

[00096] Διὸ κελεύει ἀπαρθῆναι ἀπ' αὐτοῦ τὸ Πνεῦμα τὸ ἅγιον, ὃ ἔλαβεν ἐν ἡμέρᾳ ἀπολυτρώσεως, ὃ δοκεῖ ἔχειν.

[00097] Καὶ γίνεται ὁ τοιοῦτος ἄνθρωπος ὥσπερ κεράμιον οἴνου ῥῆγμα πεποιηκὸς, καὶ δι' αὐτοῦ ἀπολωλεκὸς τὸν οἶνον·

[00098] ὅπερ πάντες μὲν οἱ ὁρῶντες, μὴ ἰδόντες τὸ γεγονὸς, δοκοῦσι μεστὸν εἶναι·

[00099] ὅταν δὲ ἐρευνηθῇ, τότε φανεροῦται πᾶσιν, ὅτι κενόν ἐστι κείμενον.

[00100] Οὕτως οὖν καὶ ὁ τοιοῦτος ἄνθρωπος κατὰ τὴν ἡμέραν ἐκείνην τῆς κρίσεως ἐρευνώμενος, εὑρίσκεται·

[00101] καὶ τότε φανερὰ πᾶσι τὰ κατ' αὐτὸν γίνεται.

[00102] Τοιοῦτοί εἰσι καὶ εἰ ἐροῦντες τῷ βασιλεῖ ἐν ἐκείνῃ τῇ ἡμέρᾳ·

[00103] Κύριε, οὐ τῷ σῷ ὀνόματι δυνάμεις πολλὰς ἐποιήσαμεν;

[00104] Καὶ ἀποκριθεὶς ὁ βασιλεὺς ἐρεῖ αὐτοῖς·

[00105] Ἀμὴν λέγω ὑμῖν, οὐκ οἶδα ὑμᾶς.

[00106] Βλέπεις, ἀδελφὲ, ὅτι οὐδὲν ἔλεος ἔχει ὁ τοιοῦτος.

[00107] Σὺ οὖν μνημόνευε τῶν λόγων ὧν ἀκούεις, καὶ κατόρθωσον τὴν ὁδόν σου.

[00108] Βλέπε μὴ ἐάσῃς τὴν λήθην κατελθεῖν, καὶ ἁρπάσαι αὐτὸν ἐκ τῆς καρδίας σου·

[00109] βλέπε μὴ ἐάσῃς τὰ πετεινὰ κατελθεῖν, καὶ καταφαγεῖν τὸ σπέρμα τοῦ Θεοῦ·

[00110] αὐτὸς γὰρ εἶπεν, ὅτι τὸ σπέρμα ἐστὶν ὁ λόγος, ὃν ἠκούσατε.

[00111] Κρύψον τὸ σπέρμα εἰς τὰς λαγόνας τῆς γῆς·

[00112] τουτέστι, κρύψον τὸν λόγον ἐν μέσῳ τῆς καρδίας σου, ὅπως καρποφορήσῃ τῷ Κυρίῳ ἐν φόβῳ.

[00113] Ὅταν δὲ ἀναγινώσκῃς, ἐπιμελῶς καὶ ἐμπόνως ἀναγίνωσκε, ἐν πολλῇ καταστάσει διερχόμενος τὸν στίχον, καὶ μὴ σπούδαζε τὰ φύλλα μόνον διέρχεσθαι, ἀλλὰ ἐὰν χρεία, μὴ ὀκνήσῃς δὶς καὶ τρὶς καὶ πλειστάκις διελθεῖν τὸν στίχον, ὅπως νοήσῃς τὴν δύναμιν αὐτοῦ.

[00114] Ὅταν δὲ μέλλῃς καθεσθῆναι καὶ ἀναγνῶναι, ἢ καὶ πάλιν ἄλλου ἀναγινώσκοντος ἀκοῦσαι, δεήθητι πρῶτον τοῦ Θεοῦ λέγων·

[00115] Κύριε Ἰησοῦ Χριστὲ, ἄνοιξον τὰ ὦτα καὶ τοὺς ὀφθαλμοὺς τῆς καρδίας μου, τοῦ ἀκοῦσαί με τὸν λόγον σου, καὶ συνιέναι, καὶ ποιῆσαι τὸ θέλημά σου, Κύριε, ὅτι πάροικος ἐγώ εἰμι ἐν τῇ γῇ.

[00116] Μὴ ἀποκρύψῃς ἀπ' ἐμοῦ τὰς ἐντολάς σου, ἀλλ' Ἀποκάλυψον τοὺς ὀφθαλμούς μου, καὶ κατανοήσω τὰ θαυμάσια ἐκ τοῦ νόμου σου·

[00117] ἐπὶ σοὶ γὰρ ἤλπισα, ὁ Θεός μου, ἵνα σύ μου φωτίσῃς τὴν καρδίαν.

[00118] Ναὶ, ἀδελφέ μου, παρακαλῶ, οὕτω πάντοτε εὔχου τῷ Θεῷ, ὅπως φωτίσῃ σου τὸν νοῦν, καὶ δηλώσῃ σοι τὴν δύναμιν τῶν λόγων αὐτοῦ.

[00119] Πολλοὶ γὰρ ἐπλανήθησαν θαῤῥήσαντες τῇ συνέσει αὐτῶν, καὶ Φάσκοντες εἶναι σοφοὶ ἐμωράνθησαν, μὴ νοοῦντες τὰ γεγραμμένα, καὶ περιέπεσαν εἰς βλασφημίαν, καὶ ἀπώλοντο.

[00120] Ἐὰν οὖν ἐν τῷ ἀναγινώσκειν σε εὕρῃς λόγον δυσνόητον, βλέπε μή σε διδάξῃ ὁ Πονηρὸς λέγειν ἐν ἑαυτῷ, ὅτι Οὐχ οὕτως ἐστὶν, ὡς λέγει ὁ λόγος οὗτος·

[00121] πῶς γὰρ δύναται οὕτως εἶναι;

[00122] καὶ τὰ τοιαῦτα·

[00123] ἀλλ', εἰ πιστεύεις τῷ Θεῷ, πίστευε καὶ τοῖς λόγοις αὐτοῦ, καὶ λέγε πρὸς τὸν Πονηρὸν, Πορεύου εἰς τὰ ὀπίσω μου, Σατανᾶ.

[00124] Ἐγὼ γὰρ οἶδα, Τὰ λόγια τοῦ Θεοῦ, λόγια ἁγνά ἐστιν, [63.941] ἀργύριον πεπυρωμένον ἑπταπλασίως·

[00125] καὶ οὐδὲν ἐν αὐτοῖς σκολιὸν, οὐδὲ στραγγαλιῶδες, ἀλλὰ πάντα τὰ ἀγαθὰ ἐνώπιον τοῖς συνιοῦσιν·

[00126] ἐγὼ δὲ ἀσύνετός εἰμι, καὶ οὐ γινώσκω·

[00127] οἶδα οὖν ὅτι πνευματικῶς γεγραμμένα εἰσί·

[00128] λέγει γὰρ καὶ ὁ Ἀπόστολος, ὅτι Ὁ νόμος πνευματικός ἐστιν.

[00129] Εἶθ' οὕτως ἀνάβλεψον εἰς τὸν οὐρανὸν, καὶ εἰπέ·

[00130] Κύριε, πιστεύω τοῖς λόγοις σου·

[00131] οὐκ ἀντιλέγω, ἀλλὰ θαῤῥῶ τοῖς λόγοις τοῦ ἁγίου Πνεύματος.

[00132] Σὺ οὖν, Κύριε, σῶσόν με, ὅπως εὕρω χάριν ἐνώπιόν σου.

[00133] Ἐγὼ γὰρ ἄλλο τι οὐ ζητῶ, εἰ μὴ μόνον τοῦ σωθῆναι, ὅπως τύχω τοῦ ἐλέους σου, εὔσπλαγχνε·

[00134] ὅτι σοῦ ἐστιν ἡ βασιλεία καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας, ἀμήν.

[00135] Κτῆσαι δὲ καὶ ἡσυχίαν, ἀδελφὲ, ὥσπερ τεῖχος ὀχυρόν·

[00136] ἡ γὰρ ἡσυχία ὑψηλότερόν σε ποιεῖ τῶν παθῶν·

[00137] σὺ γὰρ ἄνωθεν πολεμεῖς, αὐτὰ δὲ κάτωθεν.

[00138] Κτῆσαι οὖν τὴν ἐν φόβῳ Θεοῦ ἡσυχίαν, καὶ οὐ μή σε βλάψῃ πάντα τὰ βέλη τοῦ Ἐχθροῦ·

[00139] ἡσυχία γὰρ φόβῳ Θεοῦ συνεζευγμένη ἅρμα πύρινόν ἐστι.

[00140] Καὶ πειθέτω σε Ἠλίας ὁ προφήτης ἀγαπήσας τὴν ἡσυχίαν, καὶ τὸν φόβον τοῦ Θεοῦ, ἀναληφθεὶς ὡς εἰς τὸν οὐρανόν.

[00141] Ὦ ἡσυχία, προκοπὴ μοναζόντων·

[00142] ὦ ἡσυχία, κλῖμαξ οὐράνιος·

[00143] ὦ ἡσυχία, ὁδὸς βασιλείας οὐρανῶν·

[00144] ὦ ἡσυχία, κατανύξεως μήτηρ·

[00145] ὦ ἡσυχία, ἔσοπτρον ἁμαρτημάτων, ἡ δεικνύουσα ἀνθρώπῳ τὰ πλημμελήματα αὐτοῦ·

[00146] ὦ ἡσυχία, ἡ δάκρυα μὴ ἐμποδίζουσα·

[00147] ὦ ἡσυχία, πραότητος γεννήτρια·

[00148] ὦ ἡσυχία, ταπεινοφροσύνης σύσκηνε·

[00149] ὦ ἡσυχία, φόβῳ Θεοῦ συνεζευγμένη, διανοίας φωταγωγέ·

[00150] ὦ ἡσυχία, λογισμῶν κατάσκοπε, καὶ διακρίσεως σύμπονε·

[00151] ὦ ἡσυχία, γεννήτρια παντὸς ἀγαθοῦ, νηστείας ἑδραίωμα, καὶ γαστριμαργίας ἐμπόδιον·

[00152] ὦ ἡσυχία, σχόλασις προσευχῆς καὶ ἀναγνώσεως·

[00153] ὦ ἡσυχία, γαλήνη λογισμῶν, καὶ λιμὴν εὔδιος·

[00154] ὦ ἡσυχία, ἀμεριμνία ψυχῆς·

[00155] ὦ ἡσυχία, ζυγὸς χρηστὸς καὶ φορτίον ἐλαφρὸν, ἀναπαύουσα καὶ βαστάζουσα τὸν βαστάζοντά σε·

[00156] ὦ ἡσυχία, εὐφροσύνη ψυχῆς καὶ καρδίας·

[00157] ὦ ἡσυχία, ὀφθαλμῶν καὶ ἀκοῆς καὶ γλώσσης χαλινός·

[00158] ὦ ἡσυχία περπερότητος ἀναίρεσις, καὶ ἀναιδείας ἐχθρά·

[00159] ὦ ἡσυχία, δεσμωτήριον παθῶν·

[00160] ὦ ἡσυχία, πάσης ἀρετῆς συνεργὲ, ἀκτημοσύνης πρόξενε, χωρίον Θεοῦ καρποφοροῦν καρποὺς ἀγαθούς·

[00161] ὦ ἡσυχία, τεῖχος καὶ ὀχύρωμα τῶν βουλομένων ἀγωνίσασθαι τὴν βασιλείαν τῶν οὐρανῶν.

[00162] Ναὶ, ἀδελφὲ, ταύτην κτῆσαι τὴν καλὴν μερίδα, ἣν Μαρία ἐξελέξατο.

[00163] Αὕτη γὰρ ἡ Μαρία ἐγένετο ὑπόδειγμα τῆς ἡσυχίας, παρακαθίσασα παρὰ τοῖς ποσὶ τοῦ Κυρίου, καὶ αὐτῷ μόνῳ προσκολληθεῖσα.

[00164] Διὸ καὶ ἐπήνεσεν αὐτὴν ὁ Κύριος λέγων·

[00165] Μαρία τὴν ἀγαθὴν μερίδα ἐξελέξατο, ἥτις οὐκ ἀφαιρεθήσεται ἀπ' αὐτῆς.

[00166] Βλέπεις, ἀδελφὲ, οἵα ἐστὶν ἡ ἡσυχία·

[00167] ὅτι αὐτός ἐστι, καὶ ἐπαινεῖ τὸν κτώμενον αὐτὴν ὁ Δεσπότης ἡμῶν Θεός.

[00168] Ταύτην κτῆσαι, ἀδελφέ μου, καὶ κατατρυφήσεις τοῦ Κυρίου σου, παρακαθεζόμενος τοῖς ποσὶν αὐτοῦ καὶ αὐτῷ μόνῳ προσκολλώμενος, ἵνα λέγῃς

[00169] [63.942] καὶ σὺ μετὰ παῤῥησίας·

[00170] Ἐκολλήθη ἡ ψυχή μου ὀπίσω σου, ἐμοῦ δὲ ἀντελάβετο ἡ δεξιά σου.

[00171] Διὰ τοῦτο ὡς ἐκ στέατος καὶ πιότητος ἐμπλησθείη ἡ ψυχή μου.

[00172] Ναὶ, ἀδελφέ μου, ταύτην κτῆσαι τὴν μέλιτος γλυκυτέραν.

[00173] Κρείσσων γὰρ ψωμὸς ἐν ἅλατι ἡσυχίας καὶ ἀμεριμνίας, ἢ παράθεσις ἐδεσμάτων πολυτελῶν ἐν πειρασμοῖς καὶ μερίμναις.

[00174] Ἄκουε τοῦ λέγοντος Δεσπότου Θεοῦ·

[00175] Δεῦτε πρός με πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι, κἀγὼ ἀναπαύσω ὑμᾶς.

[00176] Ἀναπαῦσαι γάρ σε θέλει ὁ Κύριος ἀπὸ μεριμνῶν, ἀπὸ θυμοῦ, ἀπὸ πειρασμοῦ καὶ θλίψεως τοῦ αἰῶνος τούτου·

[00177] ἀμέριμνόν σε θέλει εἶναι ἀπὸ τῆς πλινθουργίας τῆς Αἰγύπτου·

[00178] ἀγαγεῖν σε βούλεται εἰς τὴν ἔρημον, τουτέστιν, εἰς τὴν ἡσυχίαν, ὅπως φωτίσῃ τὰς ὁδούς σου τῷ στύλῳ τῆς νεφέλης, ὅπως ψωμιεῖ σε τὸ μάννα, λέγω δὴ τὸν ἄρτον τῆς ἡσυχίας καὶ ἀμεριμνίας·

[00179] ὅπως κληρονομήσῃς τὴν γῆν τὴν ἀγαθὴν, λέγω δὴ τὴν ἄνω Ἱερουσαλήμ.

[00180] Ναὶ, ἀγαπητὲ, ταύτην ἀγάπησον, ταύτην κτῆσαι, ὅπως τερφθῇς ἐν τῇ ὁδῷ τῶν μαρτυρίων τοῦ Θεοῦ, ὡς ἐπὶ παντὶ πλούτῳ.

[00181] Ναὶ, ἀδελφὲ, κτῆσαι τὴν ἡσυχίαν μετὰ φόβου Θεοῦ, καὶ ὁ Θεὸς τῆς εἰρήνης ἔσται μετὰ σοῦ, ᾧ πρέπει δόξα εἰς τοὺς αἰῶνας.

[00182] Ἀμήν.

[00183] Παρακαλῶ οὖν, ἀδελφοὶ ἠγαπημένοι ὑπὸ Κυρίου, σπουδάζειν ἡμᾶς καθ' ἑκάστην ἡμέραν τὴν τούτων μνήμην ποιεῖσθαι, λέγω δὴ τῆς ἐλπίδος, τῆς πίστεως, τῆς ἀγάπης, τῆς ταπεινοφροσύνης, τοῦ σφραγίζεσθαι πάντοτε ἐν ταῖς εὐχαῖς τοῦ Θεοῦ, καὶ ταῖς μελέταις τῶν θείων Γραφῶν, καὶ τῇ ἡσυχίᾳ.

[00184] Ταῦτα γὰρ ὑμῖν παρόντα καὶ πλεονάζοντα, οὐκ ἀργοὺς, οὐδὲ ἀκάρπους καθίστησιν εἰς τὴν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἐπίγνωσιν.

[00185] Χριστιανὸς γὰρ, ὃς οὐ κέκτηται ταῦτα, τυφλός ἐστι, μυωπάζων, λήθην λαβὼν τῶν πάλαι αὐτοῦ ἁμαρτημάτων·

[00186] καὶ συμβέβηκεν αὐτῷ τὸ τῆς ἀληθοῦς παροιμίας, Κύων ἐπιστρέψας ἐπὶ τὸν ἴδιον ἔμετον·

[00187] καὶ, Ὗς λουσαμένη ἐν κυλισμῷ βορβόρου.

[00188] Διότι ἀποφυγόντες τὰ μιάσματα τοῦ κόσμου, ὡς γέγραπται, καὶ ταῦτα ἐν τῷ ἁγίῳ λουτρῷ ἀπαρνησάμενοι, καὶ ἐν ἐπιγνώσει τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ γενόμενοι, εἶτα πάλιν τούτοις ἐμπεπλεγμένοι·

[00189] γέγονεν αὐτοῖς τὰ ἔσχατα χείρονα τῶν πρώτων.

[00190] Κρεῖττον ἦν αὐτοῖς μὴ ἐπιγνῶναι τὴν ὁδὸν τῆς ἀληθείας, ἢ ἐπιγινώσκουσιν εἰς τὰ ὀπίσω πάλιν ἀνακάμψαι.

[00191] Οὐκοῦν, ἀγαπητοὶ, πιστοὶ δοῦλοι καὶ ἐκλεκτοὶ στρατιῶται Θεοῦ, Χριστιανοὶ, ἀναλάβωμεν τὴν πανοπλίαν τῶν προειρημένων ἐν τῇ καρδίᾳ ἡμῶν, καὶ καθ' ἑκάστην ἀνυπερθέτως μνείαν αὐτῶν ποιούμενοι·

[00192] ὅπως δυνηθῶμεν ἀγωνίσασθαι τὸν καλὸν ἀγῶνα, καὶ καταπατῆσαι πᾶσαν τὴν δύναμιν τοῦ Ἐχθροῦ·

[00193] ἵνα ῥυσθῶμεν ἀπὸ τῆς ὀργῆς τῆς ἐπερχομένης ἐπὶ τοὺς υἱοὺς τῆς ἀπειθείας, καὶ εὕρωμεν ἔλεος καὶ χάριν ἐν τῇ ἡμέρᾳ τῇ φρικτῇ ἐνώπιον τοῦ δικαίου κριτοῦ, τοῦ ἀποδιδόντος ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ·

[00194] ᾧ πρέπει δόξα, σὺν τῷ παντοκράτορι Πατρὶ, καὶ τῷ παναγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

[00195] Ἀμήν.

---

**© 2006 Cooperatorum Veritatis Societas quoad hanc editionem iura omnia asservantur.**
**0345-0407 - Iohannes Chrysostomus - De patientia et de consummatione huius saeculi**
**Litterarum Omnium Conspectus: 126 Litterae, quae repetitae sunt in 11,574 occasionibus**

---

| | | | | | |
|---|---|---|---|---|---|
| α | 0945 | 872 | Α | 0913 | 2 |
| β | 0946 | 59 | Β | 0914 | 6 |

| | | | | | |
|---|---|---|---|---|---|
| γ | 0947 | 239 | Γ | 0915 | 9 |
| δ | 0948 | 183 | Δ | 0916 | 1 |
| ε | 0949 | 596 | Ε | 0917 | 2 |
| ζ | 0950 | 36 | Ζ | 0918 | 0 |
| η | 0951 | 122 | Η | 0919 | 0 |
| θ | 0952 | 137 | Θ | 0920 | 29 |
| ι | 0953 | 501 | Ι | 0921 | 0 |
| κ | 0954 | 352 | Κ | 0922 | 32 |
| λ | 0955 | 341 | Λ | 0923 | 2 |
| μ | 0956 | 312 | Μ | 0924 | 5 |
| ν | 0957 | 917 | Ν | 0925 | 5 |
| ξ | 0958 | 29 | Ξ | 0926 | 0 |
| ο | 0959 | 751 | Ο | 0927 | 3 |
| π | 0960 | 346 | Π | 0928 | 22 |
| ρ | 0961 | 402 | Ρ | 0929 | 0 |
| ς | 0962 | 447 | • | 0930 | 0 |
| σ | 0963 | 472 | Σ | 0931 | 11 |
| τ | 0964 | 816 | Τ | 0932 | 13 |
| υ | 0965 | 254 | Υ | 0933 | 0 |
| φ | 0966 | 96 | Φ | 0934 | 1 |
| χ | 0967 | 119 | Χ | 0935 | 8 |
| ψ | 0968 | 31 | Ψ | 0936 | 0 |
| ω | 0969 | 153 | Ω | 0937 | 0 |
| ῤ | 8164 | 3 | | | 0 |
| ῥ | 8165 | 7 | Ῥ | 8172 | |

| | | | | | | | | | | | | | | | | | | | | |
|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|
| ά | 8049 | 140 | έ | 8051 | 124 | ή | 8053 | 62 | ί | 8055 | 206 | ό | 8057 | 112 | ύ | 8059 | 98 | ώ | 8061 | 51 |
| ὰ | 8048 | 100 | ὲ | 8050 | 38 | ὴ | 80852 | 89 | ὶ | 8054 | 188 | ὸ | 8056 | 114 | ὺ | 8058 | 28 | ὼ | 8060 | 6 |
| ᾶ | 8118 | 10 | | | 0 | ῆ | 8134 | 71 | ῖ | 8150 | 75 | | | 0 | ῦ | 8166 | 143 | ῶ | 8182 | 107 |
| ἀ | 7936 | 162 | ἐ | 7952 | 150 | ἠ | 7968 | 2 | ἰ | 7984 | 48 | ὀ | 8000 | 14 | ὐ | 8016 | 89 | ὠ | 8032 | 5 |
| ἁ | 7937 | 13 | ἑ | 7953 | 9 | ἡ | 7969 | 65 | ἱ | 7985 | 10 | ὁ | 8001 | 42 | ὑ | 8017 | 22 | ὡ | 8033 | 8 |
| ἂ | 7938 | 5 | ἒ | 7954 | 0 | ἢ | 7970 | 4 | ἲ | 7986 | 0 | ὂ | 8002 | 0 | ὒ | 8018 | 0 | ὢ | 8034 | 0 |

| | | | | | | | | | | | | | | | | | | | | |
|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|
| ἃ | 7939 | 1 | ἓ | 7955 | 0 | ἣ | 7971 | 1 | ἳ | 7987 | 0 | ὃ | 8003 | 6 | ὓ | 8019 | 0 | ὣ | 8035 | 0 |
| ἄ | 7940 | 16 | ἔ | 7956 | 28 | ἤ | 7972 | 1 | ἴ | 7988 | 5 | ὄ | 8004 | 1 | ὔ | 8020 | 6 | ὤ | 8036 | 0 |
| ἅ | 7941 | 4 | ἕ | 7957 | 0 | ἥ | 7973 | 3 | ἵ | 7989 | 9 | ὅ | 8005 | 39 | ὕ | 8021 | 12 | ὥ | 8037 | 3 |
| ἆ | 7942 | 0 | | | 0 | ἦ | 7974 | 1 | ἶ | 7990 | 11 | | | 0 | ὖ | 8022 | 12 | ὦ | 8038 | 23 |
| ἇ | 7943 | 0 | | | 0 | ἧ | 7975 | 0 | ἷ | 7991 | 1 | | | 0 | ὗ | 8023 | 4 | ὧ | 8039 | 2 |
| ᾀ | 8064 | 0 | | | 0 | ᾐ | 8080 | 0 | | | 0 | | | 0 | ῧ | 8167 | 0 | ᾠ | 8096 | 0 |
| ᾁ | 8065 | 0 | | | 0 | ᾑ | 8081 | 0 | | | 0 | | | 0 | ΰ | 8163 | 0 | ᾡ | 8097 | 0 |
| ᾂ | 8066 | 0 | | | 0 | ᾒ | 8082 | 0 | | | 0 | | | 0 | | | 0 | ᾢ | 8098 | 0 |
| ᾃ | 8067 | 0 | | | 0 | ᾓ | 8083 | 0 | | | 0 | | | 0 | | | 0 | ᾣ | 8099 | 0 |
| ᾄ | 8068 | 0 | | | 0 | ᾔ | 8084 | 0 | | | 0 | | | 0 | | | 0 | ᾤ | 8100 | 0 |
| ᾅ | 8069 | 0 | | | 0 | ᾕ | 8085 | 0 | | | 0 | | | 0 | | | 0 | ᾥ | 8101 | 0 |
| ᾆ | 8070 | 0 | | | 0 | ᾖ | 8086 | 0 | | | 0 | | | 0 | | | 0 | ᾦ | 8102 | 0 |
| ᾇ | 8071 | 0 | | | 0 | ᾗ | 8087 | 0 | | | 0 | | | 0 | | | 0 | ᾧ | 8103 | 2 |
| ᾳ | 8115 | 16 | | | 0 | ῃ | 8131 | 48 | | | 0 | | | 0 | | | 0 | ῳ | 8179 | 21 |
| ᾴ | 8116 | 0 | | | 0 | ῄ | 8132 | 1 | | | 0 | | | 0 | | | 0 | ῴ | 8180 | 1 |
| ᾷ | 8119 | 2 | | | 0 | ῇ | 8135 | 37 | | | 0 | | | 0 | | | 0 | ῷ | 8183 | 35 |

Ceterae infrequentes vel rarissimae Litterae expositae non sunt

---

**© 2006 Cooperatorum Veritatis Societas quoad hanc editionem iura omnia asservantur.**

**0345-0407 - Iohannes Chrysostomus - De patientia et de consummatione huius saeculi**

**Verborum Omnium Conspectus: 1,045Verba, quae repetita sunt in 1,296,712 occasionibus**

---

**ἃ** [00073]
**ἀγαγεῖν** [00178]
**ἀγαθὰ** [00125]
**ἀγαθὴν** [00165] [00179]
**ἀγαθόν** [00018]
**ἀγαθοῦ** [00151]
**ἀγαθούς** [00160]
**ἀγαθῶν** [00011]
**ἀγάπης** [00183]
**ἀγαπήσας** [00140]
**ἀγάπησον** [00006] [00180]
**ἀγαπητὲ** [00180]
**ἀγαπητοὶ** [00191]
**ἀγγέλων** [00058]
**ἁγιάζεταί** [00061]
**ἁγιάζῃ** [00062]
**ἁγίαις** [00060]
**ἅγιον** [00059] [00096]
**ἁγίου** [00131]
**ἁγίῳ** [00058] [00188]
**ἁγίων** [00031]
**ἁγνά** [00124]
**ἀγρόν** [00033]
**ἀγρὸς** [00034]
**ἀγῶνα** [00192]
**ἀγῶνες** [00027]
**ἀγωνίσασθαι** [00161] [00192]
**ἀδελφὲ** [00006] [00054] [00074] [00090] [00106] [00135] [00162] [00166] [00181]
**ἀδελφέ** [00016] [00050] [00055] [00062] [00067] [00072] [00118] [00168] [00172]
**ἀδελφοὶ** [00183]
**ἀδιαδόχου** [00002]
**ἀδικίαν** [00078]
**ἀδόκιμος** [00091]
**ἀεὶ** [00050] [00194]
**αἱ** [00003] [00063] [00067]
**Αἰγύπτου** [00177]
**αἰτήματα** [00013]
**αἴτησις** [00066]

**αἰῶνας** [00134] [00181] [00194]
**αἰώνιον** [00021] [00050]
**αἰῶνος** [00002] [00176]
**αἰώνων** [00194]
**ἀκάνθαις** [00036]
**ἀκάρπους** [00184]
**ἀκοὴν** [00014]
**ἀκοήν** [00015]
**ἀκοῆς** [00157]
**Ἄκουε** [00023] [00174]
**ἀκούει** [00068]
**ἀκούεις** [00054] [00107]
**ἀκοῦσαί** [00115]
**ἀκοῦσαι** [00069] [00114]
**Ἄκουσον** [00019]
**ἀκτημοσύνης** [00160]
**ἀλάλαξον** [00042]
**ἅλατι** [00173]
**ἀληθείας** [00190]
**ἀληθινῇ** [00054]
**ἀληθοῦς** [00186]
**ἀλλ** [00005] [00116] [00123]
**ἀλλὰ** [00047] [00055] [00067] [00072] [00075] [00082] [00084] [00091] [00113] [00125] [00131]
**ἄλλαις** [00081]
**ἄλλο** [00133]
**Ἄλλοι** [00057]
**ἄλλου** [00114]
**ἀλώπεκα** [00042]
**ἀλώπεκας** [00044]
**ἁμαρτημάτων** [00145] [00185]
**ἁμάρτω** [00087]
**ἁμαρτωλῶν** [00002]
**ἀμελήσῃς** [00055] [00074]
**ἀμεριμνία** [00154]
**ἀμεριμνίας** [00173] [00178]
**ἀμέριμνόν** [00177]
**ἀμερίμνως** [00079]
**ἀμήν** [00134]
**Ἀμὴν** [00105]
**Ἀμήν** [00182] [00195]
**ἄμπελον** [00040]
**ἀμπελῶνα** [00017]
**ἀμπελῶνας** [00041]
**ἂν** [00020] [00061] [00062] [00087]
**ἀνα** [00080]
**ἀνάβλεψον** [00129]
**ἀναγίνωσκε** [00113]
**ἀναγινώσκειν** [00069] [00120]
**ἀναγινώσκῃς** [00079] [00113]
**ἀναγινώσκοντα** [00081]
**ἀναγινώσκοντες** [00073]
**ἀναγινώσκοντος** [00114]
**ἀναγινώσκουσι** [00073]
**ἀναγνῶναι** [00072] [00078] [00114]
**ἀναγνώσει** [00050] [00055]
**ἀναγνώσεως** [00152]
**ἀνάγνωσις** [00051]
**ἀναιδείας** [00158]
**ἀναίρεσις** [00158]
**ἀνακάμψαι** [00190]
**ἀνακόψῃ** [00078]
**ἀναλάβωμεν** [00191]
**ἀναλαμβάνεις** [00093]
**ἀναληφθεὶς** [00140]
**ἀναπαύουσα** [00155]
**Ἀναπαῦσαι** [00176]
**ἀναπαύσω** [00175]
**ἄνδρα** [00071]
**ἀνδρείας** [00006]
**Ἀνδρίζου** [00032]
**ἀνεξάλειπτον** [00084]
**ἀνεῳγμένην** [00015]
**ἄνθρωπον** [00081]
**ἄνθρωπος** [00020] [00090] [00097] [00100]
**ἀνθρώπου** [00049]
**ἀνθρώπῳ** [00092] [00145]
**Ἄννα** [00064]
**ἄνοιξον** [00115]
**ἀντελάβετο** [00170]
**ἀντιλέγω** [00131]
**ἀντίστησον** [00046]
**ἀνυπερθέτως** [00191]
**ἄνω** [00179]
**ἄνωθεν** [00137]
**ἀπ** [00094] [00096] [00116] [00165]
**ἀπαρθῆναι** [00094] [00096]
**ἀπαρνησάμενοι** [00188]
**ἀπασχολήσῃ** [00080]
**ἀπειθείας** [00193]
**ἀπίστου** [00095]
**ἀποδιδόντος** [00193]
**ἀποδιώξεις** [00042]
**ἀποκαλεῖ** [00095]
**Ἀποκάλυψον** [00116]
**ἀποκριθεὶς** [00104]
**ἀποκρύψῃς** [00116]
**ἀπολυτρώσεως** [00096]
**ἀπολωλεκὸς** [00097]
**Ἀπόστολος** [00128]
**ἀποφυγόντες** [00188]
**ἀπώλοντο** [00119]
**ἄρα** [00091]
**ἀργοὺς** [00184]
**ἀργύριον** [00124]
**ἀρετὴν** [00009]
**ἀρετῆς** [00016] [00160]
**ἅρμα** [00139]
**ἀρνεῖται** [00095]
**ἁρπάσαι** [00108]
**ἄρτον** [00178]
**ἀρχόντων** [00057]
**ἀσύνετός** [00126]
**ἀσφαλῶς** [00050]
**ἀτελευτήτου** [00002]
**ἄτοπον** [00046]
**αὐτὰ** [00137]

**αὐταῖς** [00062] [00062]
**Αὕτη** [00163]
**αὐτῇ** [00066]
**αὐτὴν** [00164] [00167]
**αὐτῆς** [00064] [00065] [00066] [00165]
**αὐτὸ** [00049]
**αὐτοῖς** [00104] [00125] [00189] [00190]
**αὐτὸν** [00071] [00081] [00084] [00084] [00084] [00101] [00108]
**αὐτόν** [00077]
**αὐτὸς** [00049] [00110]
**αὐτός** [00167]
**αὐτοῦ** [00008] [00017] [00071] [00077] [00088] [00090] [00094] [00096] [00097] [00113] [00118] [00123] [00145] [00168] [00185] [00193]
**αὐτῷ** [00013] [00081] [00082] [00163] [00168] [00186]
**αὐτῶν** [00059] [00061] [00082] [00083] [00084] [00119] [00191]
**ἀφαιρεθήσεται** [00165]
**ἀφορμαῖς** [00081]
**ἀφορῶν** [00030]

**βαθμοὺς** [00071]
**βάλλων** [00078]
**βασιλεῖ** [00102]
**βασιλεία** [00134]
**βασιλείαν** [00161]
**βασιλείας** [00002] [00143]
**βασιλεὺς** [00104]
**βασιλέων** [00057]
**βασιλέως** [00014]
**βαστάζοντά** [00155]
**βαστάζουσα** [00155]
**βέλη** [00138]
**βίος** [00004] [00034]
**βλασφημίαν** [00119]
**βλάψη** [00138]
**Βλέπε** [00074] [00078] [00108]
**βλέπε** [00109] [00120]
**Βλέπεις** [00090] [00106] [00166]
**βόησον** [00042]
**βορβόρου** [00187]
**βούλεται** [00178]
**βούλη** [00078]
**βουλομένων** [00161]
**βοῶν** [00031]
**βοῶσι** [00041]
**βραβεῖα** [00027]

**γαλήνη** [00153]
**γὰρ** [00007] [00022] [00027] [00049] [00051] [00059] [00061] [00064] [00066] [00068] [00072] [00080] [00081] [00092] [00095] [00110] [00117] [00119] [00121] [00124] [00128] [00133] [00136] [00137] [00139] [00163] [00173] [00184] [00185]
**γάρ** [00034] [00052] [00070] [00073] [00076] [00085] [00091] [00176]
**γαστριμαργίας** [00151]
**γέγονεν** [00189]
**γεγονὸς** [00098]
**γεγραμμένα** [00119] [00127]
**Γέγραπται** [00085]
**γέγραπται** [00052] [00070] [00076] [00188]
**γένη** [00056]
**γεννήτρια** [00147] [00151]
**γενόμενοι** [00188]
**γενοῦ** [00082]
**γεώργει** [00040]
**γῇ** [00115]
**γῆν** [00179]
**γῆς** [00111]
**γίνεται** [00097] [00101]
**γινομένην** [00083]
**γινώσκω** [00126]
**γινώσκων** [00062]
**γλυκυτέραν** [00172]
**γλώσσης** [00157]
**γνῶναι** [00080]
**γνῶσιν** [00051] [00054]
**γνῶτε** [00053]
**Γραφαῖς** [00054] [00060]
**Γραφᾶς** [00082]
**Γραφή** [00043]
**Γραφῶν** [00003] [00051] [00058] [00183]

**δ** [00020]
**δάκρυα** [00146]
**δὲ** [00005] [00009] [00012] [00048] [00058] [00065] [00069] [00083] [00095] [00099] [00113] [00114] [00126] [00135] [00137] [00170]
**δεήθητι** [00114]
**δεῖ** [00050]
**δεικνύουσα** [00145]
**δεξιά** [00170]
